01 Νοεμβρίου 2026

Ευαγγελικό Ανάγνωσμα

(Κατά Λουκάν ιστ' 19-31)

Εἶπεν ὁ Κύριος· «Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ᾽ ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ· τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. Εἶπε δέ· ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ· ἔχουσι Μωυσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· οὐχί, πάτερ Ἀβραάμ, ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ· εἰ Μωυσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται».

Μετάφραση

(Κατά Λουκάν ιστ' 19-31)

«Κάποιος άνθρωπος ήταν πλούσιος, φορούσε πολυτελή ρούχα και το τραπέζι του κάθε μέρα ήταν λαμπρό. Κάποιος φτωχός όμως, που τον έλεγαν Λάζαρο, ήταν πεσμένος κοντά στην πόρτα του σπιτιού του πλουσίου, γεμάτος πληγές. Αυτός προσπαθούσε να χορτάσει από τα ψίχουλα που έπεφταν από το τραπέζι του πλουσίου. Έρχονταν και τα σκυλιά και του έγλυφαν τις πληγές. Πέθανε ο φτωχός, και οι άγγελοι τον πήραν κοντά στον Αβραάμ. Πέθανε κι ο πλούσιος και θάφτηκε. Στον άδη που ήταν και βασανιζόταν σήκωσε τα μάτια του και είδε από μακριά τον Αβραάμ και κοντά του τον Λάζαρο. Τότε φώναξε ο πλούσιος και είπε: πατέρα μου Αβραάμ, σπλαχνίσου με και στείλε το Λάζαρο να βρέξει με νερό την άκρη του δάχτυλού μου και να μου δροσίσει τη γλώσσα, γιατί υποφέρω μέσα σ᾽ αυτή τη φωτιά. Κι ο Αβραάμ του απάντησε: παιδί μου, θυμήσου ότι εσύ απόλαυσες την ευτυχία στη ζωή σου, όπως κι ο Λάζαρος τη δυστυχία. Τώρα όμως αυτός χαίρεται εδώ, κι εσύ υποφέρεις. Κι εκτός απ᾽ όλα αυτά, υπάρχει ανάμεσά μας μεγάλο χάσμα, ώστε αυτοί που θέλουν να διαβούν από εδώ σ᾽ εσάς να μην μπορούν, ούτε οι από εκεί να περάσουν σ᾽ εμάς. Είπε πάλι ο πλούσιος: τότε σε παρακαλώ, πατέρα, στείλε τον στο σπίτι του πατέρα μου, να προειδοποιήσει τους πέντε αδερφούς μου, ώστε να μην έρθουν κι αυτοί σ᾽ αυτό τον τόπο των βασάνων. Ο Αβραάμ του λέει: έχουν τα λόγια του Μωυσή και των προφητών· ας υπακούσουν σ᾽ αυτά. Εκείνος τότε του είπε: όχι, πατέρα μου Αβραάμ· αν όμως κάποιος από τους νεκρούς πάει σ᾽ αυτούς, θα μετανοήσουν. Του είπε ο Αβραάμ: αν δεν υπακούνε στα λόγια του Μωυσή και των προφητών, δε θα πειστούν ούτε κι αν αναστηθεί κάποιος από τους νεκρούς».

Αποστολικό Ανάγνωσμα

(Α' Προς Κορινθίους ιβ΄27 – ιγ΄8)

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσι; Μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην

δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Μετάφραση

(Α' Προς Κορινθίους ιβ΄27 – ιγ΄8)

Ἀδελφοί, Σεις, λοιπόν, οι Χριστιανοί είσθε σώμα Χριστού και ο καθένας σας είναι επί μέρους μέλος, που κατέχει την ταιριαστήν θέσιν δι' αυτόν και δι' ολον το σώμα. Και άλλους μεν έθεσεν ο Θεός εις την Εκκλησίαν του πρώτον μεν αποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· έπειτα άλλους τους έθεσε εις αναλόγους θέσεις και τους έδωσε την δύναμιν να κάνουν θαύματα, άλλους ώρισε να έχουν χαρίσματα εις θεραπείαν ασθενειών, εις άλλους έδωσε χαρίσματα φροντίδος και επιμελείας δια τους πτωχούς και πάσχοντας, χαρίσματα διοικητικά εις την Εκκλησίαν, χαρίσματα διαφόρων γλωσσών. (Ο καθένας κατά την ικανότητα του έχει λάβει από τον Θεόν το χάρισμά του και την θέσιν του). Μηπως όλοι είναι απόστολοι; Μηπως όλοι είναι προφήται; Μηπως όλοι είναι διδάσκαλοι; Μηπως όλοι έχουν θαυματουργικάς δυνάμεις; Μηπως όλοι έχουν χαρίσματα θεραπείας ασθενειών; Μηπως όλοι ομιλούν γλώσσας; Μηπως όλοι έχουν το χάρισμα να ενοούν και να ερμηνεύουν ξένας γλώσσας; Ολα βέβαια αυτά τα θεόσδοτα χαρίσματα έχουν την αξίαν των. Να επιθυμήτε όμως σεις με ζήλον και να προσπαθήτε να αποκτήσετε τα χαρίσματα τα ακόμη καλύτερα. Και σας δείχνω ακόμη ένα εξαίρετον δρόμον, ένα υπέροχον μέσον, δια να αποκτήσετε τα μεγάλα χαρίσματα. Και αυτό είναι η αγάπη. Εάν υποτεθή, ότι έχω τέτοια ικανότητα, ώστε να εννοώ και να ομιλώ τας γλώσσας των ανθρώπων και των αγγέλων, αλλά δεν έχω αγάπην, έχω γίνει χαλκός που ηχολογάει η κύμβαλον που αλαλάζει χωρίς να αναδίδη κανένα μουσικόν φθόγγον Και εάν έχω το χάρισμα της προφητείας και γνωρίζω όλα τα άγνωστα και απόκρυφα μυστήρια και όλην την γνώσιν, που ημπορεί να χωρέση ποτέ ανθρωπίνη διάνοια, και εάν έχω την πίστιν εις όλην της την πληρότητα, ώστε με την δύναμίν της να μετακινώ βουνά, δεν έχω όμως αγάπην, δεν είμαι τίποτε. Και εάν διαθέσω όλα μου τα υπάρχοντα, δια να αγοράσω ψωμιά και θρέψω με τα ίδια μου τα χέρια τους πεινώντας, και εάν παραδώσω το σώμα μου να καή εις την φωτιά, αλλά δεν έχω αγάπην, τίποτε δεν ωφελούμαι. Η αγάπη δείχνει μεγαλοψυχίαν και ανεκτικότητα, είναι ευεργετική και εξυπηρετική. Η αγάπη δεν ζηλεύει και δεν φθονεί. Η αγάπη δεν φέρεται με αλαζονείαν και αυθάδειαν, δεν υπερηφανεύεται και δεν ξιππάζεται. Δεν κάμνει ποτέ τίποτε το απρεπές και άκοσμον, δεν ζητεί εγωϊστικώς τα ιδικά της συμφέροντα, δεν εξερεθίζεται εναντίον του άλλου, δεν βάζει ποτέ κακό στον νου της εναντίον του πλησίον και δεν θέλει να ενθυμήται το κακόν που της έχει κάμει ο άλλος. Δεν χαίρει, όταν βλέπη να γίνεται κάτι το άδικον, και αν ακόμη με αυτό εξυπηρετούνται τα συμφέροντά της, χαίρει δε όταν βλέπη να επικρατή η αλήθεια. Σκεπάζει και υποφέρει και δικαιολογεί όλα τα μειονεκτήματα και τα ελατώματα του πλησίον, διότι δεν θέλει ποτέ τον εξευτελισμόν του. Πιστεύει και δέχεται με εμπιστοσύνην κάθε τι καλόν δια τον πλησίον. Τα πάντα και πάντοτε ελπίζει δια την διόρθωσιν των παρεκτρεπομένων. Εις όλα δεικνύει υπομονήν απέναντι του πλησίον. Η αγάπη δεν ξεπέφτει ποτέ, αλλά μένει σταθερά και αιωνία.